UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

# Conciliorvm Omnivm Generalivm Et Provincialivm Collectio Regia

Synodvs Nicæna II. Generalis. Sub Hadriano papa I. anno DCCLXXXVII.

**Parisiis, 1644**

Ioannis episcopi Gabalensium in vitam & conuersationem Seueri haeresiarchae, cuius initium est.

**urn:nbn:de:hbz:466:1-15473**

Visual Library

ANNO CHRISTI 787.

ἃ περὶ τὰς ἐν Δάφνῃ πηγὰς πρᾶξαι τετόλμηκε, μαγείαις τε χρώμενος αὐτόθι, καὶ θυμιάμασι μυσαροῖς θεραπεύων τοὺς δαίμονας, καὶ τοῦτο πᾶσα ἐκείνη ᾄδει ἡ πόλις. οὐ μὴν οὐδὲ αὐτῶν ἐφείσατο τῶν ἁγίων θυσιαστηρίων, οὔτε τῶν ἱερῶν σκευῶν, τὰ μὲν ξέων ὡς ἐναγῆ, τὰ δὲ χωνεύων καὶ ῥογεύων τοῖς ὁμοζήλοις. τετόλμηται δὲ αὐτῷ καὶ τοῦτο ὦ μακαριώτατοι. τὰς γὰρ εἰς τύπον τοῦ ἁγίου πνεύματος χρυσᾶς τε καὶ ἀργυρᾶς περιστερὰς κρεμαμένας ὑπεράνω τῶν θείων κολυμβηθρῶν καὶ θυσιαστηρίων, μετὰ τῶν ἄλλων ἐσφετερίσατο, λέγων, οὐ χρῆναι ἐν εἴδει περιστερᾶς ὀνομάζεσθαι τὸ ἅγιον πνεῦμα.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν· εἰ τὰς ἐπ᾽ ὀνόματι τοῦ ἁγίου πνεύματος ἀνατεθείσας περιστερὰς ἐδέξαντο οἱ πατέρες, πόσῳ μᾶλλον τοῦ σαρκωθέντος λόγου, καὶ ὀφθέντος ἐπὶ τῆς γῆς μετὰ σώματος; ἀλλὰ πιστεύσατε, ὅτι καὶ Ἀναστάσιος ὁ προηγησάμενος τῆς Κωνσταντινουπόλεως τὰς χρυσᾶς καὶ ἀργυρᾶς εἰκόνας ἐσφετερίσατο εἰς ἰδίαν χρείαν, καθὰ πεποίηκε Σεβῆρος.

Στέφανος ὁ θεοφιλέστατος διάκονος, νοτάριος καὶ ῥεφερενδάριος, ἀνέγνω.

Ἰωάννου ἐπισκόπου Γαβάλων εἰς τὸν βίον καὶ τὴν πολιτείαν Σεβήρου τοῦ αἱρεσιάρχου, οὗ ἡ ἀρχή.

Εἰ μὲν ἐβούλετο Σεβῆρος ἡ ζωῆς τῆς αὐτῆς. καὶ μετ᾽ ὀλίγα. καὶ οὐδὲ τὴν ἀγγέλων τιμὴν ἀλώβητον εἴασε· πολλὴν δὲ ἀεὶ λόγον ἐπὶ τοῦ βήματος ἑστὼς ἐποιεῖτο, καὶ τὸ πλῆθος ἐπειρᾶτο πείθειν ἐν αὐτῷ πολλάκις τῷ ἱερῷ τοῦ ἁγιωτάτου Μιχαὴλ, ὑπὲρ τοῦ μὴ ἁλουργὰ τοῖς

quæ circa fontes, qui Daphnæ sunt, agere ausus sit, magicis artibus ibidem vsus, & incensis dæmonia placans, tota illa ciuitas canit. Siquidem nec ipsis sanctis altaribus vel sacratis vasis pepercit, illa quidem eradens vt * scelesta, hæc autem conflans & erogans his qui similis moris sunt. Porro præsumptum est ab eo etiam hoc, o beatissimi. Eas enim, quæ in typum sancti Spiritus sunt, aureæ & argenteæ columbæ suspensæ supra * diuina sacramenta & altaria, cum aliis defraudabat, dicens non oportere columbas nominari Spiritum sanctum.

* Gr. profana,

* sacros fontes

Tarasius sanctissimus patriarcha dixit: Si in nomine sancti Spiritus superpositas columbas receperunt patres, quanto magis incarnati Verbi iconas, quod apparuit super terram cum corpore? Sed credite, quia & Anastasius qui Constantinopolitanis præfuit, aureas & argenteas iconas fraudauit in proprios vsus, quod & Seuerus fecit.

Stephanus Deo amabilis diaconus & notarius & referendarius legit.

*Ioannis episcopi Gabalensium in vitam & conuersationem Seueri hæresiarchæ, cuius initium est.*

Si quidē voluisset Seuerus vel vitæ semper eius. Et post pauca. Et neque angelorum illæsum dimisit honorem. Multum autem sermonem in tribunali stās * fecit, & multitudini persuadere tentabat in ipso multoties sacrario sanctissimi Michaelis, quod non purpurea ange-

* faciebat.

lis vestimenta conueniant, sed alba: non ignorans quod nihil sanctis virtutibus* sensibile conueniat, sed satagens &* hæc similiter auferre, & in alterutrum commouere multos sic & aliter se habentes.

* de vestibus curæ est
* hac ratione diuidere

Tarasius sanctissimus patriarcha dixit: Consideremus, quia cum reliquis etiam in hoc ipso accusatus est, quoniam dicebat, quia non conuenit angelos purpurea, sed alba vestimenta induere.

* Theophilus Deo amabilis diaconus & sceuophylax dixit: In sancta magna ecclesia Constantinopoleos, quando promotus sum, inquisiui in breui, & reperi in eo deesse duos codices deauratos per imagines: quos requirens agnoui, quod in ignem eos mittentes incenderint. Inueni autem & alium librum Constantini chartophylacis, continentem de venerabilibus iconis: & reciderunt folia, in quibus iacebant verba super iconis. & ecce eumdem codicem præ manibus habens sanctæ Synodo ostendo.

* Demetrius

Et explicans idem Theophilus codicem, ostendit omnibus foliorum recisionem.

Leontius deuotus a secretis dixit: Et aliud, patres, mirandum est in codice hoc. Vt videtis enim, argenteas tabulas habet, & hinc inde imaginibus omnium sanctorum adornatur. & rem ipsam dimittentes, id est, imagines, quæ scripta de imaginibus intus erant, reciderunt: quod extremæ dementiæ est.

Sancta Synodus dixit: Anathema sint qui reciderunt, & insidiati sunt.

ἀγγέλοις ἱμάτια προσήκειν, ἀλλὰ λευκά· οὐκ ἀγνοῶν, ὡς οὐδὲν ταῖς ἁγίαις δυνάμεσιν ἐσθῆτος μέλει, σπουδάζων δὲ καὶ ταύτῃ διαιρεῖν, καὶ εἰς ἀλλήλοις κινεῖν οὕτως ἢ ἑτέρως ἔχοντας τοὺς πολλούς.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπε· σκοπήσωμεν, ὅτι μετὰ τῶν λοιπῶν καὶ εἰς τοῦτο αὐτὸ ἐνεκλήθη, ἐπειδὴ ἔλεγεν, ὅτι οὐ προσήκει τοὺς ἀγγέλοις ἱμάτια ἁλουργά, ἀλλὰ λευκὰ ἐνδεδύσθαι.

Δημήτριος ὁ θεοφιλέστατος διάκονος καὶ σκευοφύλαξ εἶπεν· ἐν τῇ ἁγίᾳ μεγάλῃ ἐκκλησίᾳ Κωνσταντινουπόλεως, ὅτε προεβλήθην σκευοφύλαξ, ἐψηλάφησα εἰς τὸ βρέβιον, καὶ εὗρον λείποντα δύο βιβλία ἠργυρωμένα διὰ εἰκόνων. ἅπερ ζητήσας ἔγνων, ὅτι εἰς πῦρ βαλόντες ἔκαυσαν οἱ αἱρετικοί. εὗρον δὲ καὶ ἑτέραν βίβλον Κωνσταντίνου χαρτοφύλακος, περιέχουσαν περὶ τῶν σεπτῶν εἰκόνων· καὶ ἀπέτεμον τὰ φύλλα, ἔνθα ἔκειτο τὰ περὶ εἰκόνων ῥήματα, οἱ δόλιοι. καὶ ἰδοὺ τὴν αὐτὴν βίβλον μετὰ χεῖρας ἔχων ἐπιδείκνυμι τῇ ἁγίᾳ συνόδῳ.

Καὶ ἀναπτύξας ὁ αὐτὸς Δημήτριος τὴν βίβλον, ὑπέδειξε πᾶσι τὴν τῶν φύλλων ἐκτομήν.

Λεόντιος ὁ καθωσιωμένος ἀσηκρῆτις εἶπε· καὶ ἄλλο, πατέρες, θαυμάσαι ἐστὶν ἐν τῇ βίβλῳ ταύτῃ. ὡς ὁρᾶτε γάρ, ἀργυρᾶς πτύχας ἔχει, καὶ ἑκατέρωθεν ταῖς εἰκόσι πάντων τῶν ἁγίων κεκόσμηται. καὶ τὸ πρᾶγμα αὐτὸ ἐάσαντες, ἤγουν τὰς εἰκόνας, τὰ περὶ τῶν εἰκόνων ἔσω γεγραμμένα ἀπέτεμον· ὅπερ ἐσχάτης ἐστὶν ἀνοίας.

Ἡ ἁγία σύνοδος εἶπεν· ἀνάθεμα τοῖς τεμοῦσι καὶ ἐπιβουλεύσασι.

ANNO CHRISTI 787.

Λέων ὁ ὁσιώτατος ἐπίσκοπος Φωκίας εἶπε· τοῦτο μὲν τὸ βιβλίον τὰ φύλλα ἀπώλεσεν, ἐν δὲ τῇ πόλει ἐν ᾗ κατοικῶ, ἐπάνω τριάκοντα βιβλίων πυρὶ κατέκαυσαν.

Leo sanctissimus episcopus Phociæ dixit: Hic quidem codex folia perdidit: in ciuitate autem in qua habito, supra triginta codices combusserunt igni.

Σάββας ἡγούμενος τῶν Στουδίου εἶπεν· ἔθος ἐστὶ, δεσπόται, τοῖς τυφλώττουσι μὴ βλέπειν τὸ φῶς. τούτου ἕνεκεν κἀκεῖνοι τυφλοὶ ὄντες τῇ ψυχῇ ἐσκοτίσθησαν.

Sabbas reuerendissimus monachus & hegumenus monasterii Studii dixit: Moris est, domini, his qui cæci sunt, non videre lumen. huius rei gratia illi qui cæci sunt anima, obtenebrati sunt.

Δημήτριος ὁ θεοφιλέστατος διάκονος καὶ σκευοφύλαξ ἀνέγνω.

Demetrius Deo amabilis diaconus & sceuophylax legit.

Κωνσταντίνου διακόνου καὶ χαρτοφύλακος τῆς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας Κωνσταντινουπόλεως εἰς πάντας τοὺς ἁγίους μάρτυρας, οὗ ἡ ἀρχή.

*Constantini diaconi & chartophylacis sanctissimæ Dei magnæ ecclesiæ Constantinopoleos, in omnes sanctos martyres, cuius initium est.*

Αἱ μὲν Χριστοῦ πανηγύρεις. καὶ μεθ' ἕτερα. εἶτα οἴεσθε ὦ οὗτοι, ἔφησαν οἱ δικάζοντες, ὡς ἐν χαλκῷ καὶ λίθοις τὴν σωτηρίαν ποιούμεθα, οὐχὶ δὲ πρός τινα δύναμιν προνοητικήν τε καὶ συνεκτικὴν ἀποβλέπομεν, παρ' ἧς τὰ κάλλιστα ἡμῖν περιγίνεται; καὶ πῶς πλάσται καὶ λιθουργοὶ, οἱ μάρτυρες ἔφησαν, ἀγαλμάτων πλῆθος κατασκευάζουσι, ποικίλαις μορφαῖς διασχηματίζοντες, καὶ τοῖς ναοῖς προσηλοῦσιν· ὑμεῖς δὲ θυσίαις ταῦτα γεραίρετε, τὴν τῶν ἀποῤῥήτων λύσιν παρ' αὐτῶν ἐξαιτούμενοι; τί δὲ καὶ παρ' ὑμῖν, οἱ τύραννοι διεξῆλθον, ὃ φατε θεῖον, ἐν εἰκόσιν οὐκ ἐγχαράττετε; πῶς οὖν διαλοιδορεῖσθε ἡμῖν, δεισιδαιμονέστερον ἐφ' ὁμοίαις πράξεσι διακείμενοι; ἐκοινοῦ ἐπείπερ καὶ ἡμῖν, ὦ δικασταὶ, τοῖς ἀνεξελέγκτοις ψόγοις τὴν τῶν εἰκόνων γραφὴν παραρτύετε, φέρε

Christi quidem festiuitates. Et post alia. Deinde arbitramini, * quod isti dixerunt, qui litigant, quod in ære ac lapidibus salutem faciamus, & non ad quamdam virtutem prouidam & protectricem inspiciamus, a qua nobis optima obtinentur? Et quomodo pictores & lapidarii, martyres dixerunt, simulacrorum multitudinem construunt, variis formis configurantes, & templis affigunt? & vos sacrificiis hæc celebratis, * secretorum solutionem ab eis expectantes? Quid autem & apud vos? tyranni persecuti sunt. Nam quam asseritis, diuinitas in imaginibus non exaratur? Quomodo ergo nobis male dicitis, superstitiosius in similibus actibus positi? Ergo quoniam & nobis, o iudices, in exquisitis vituperationibus imaginum picturam conficitis, eia

* Gr. arb. vos, dixerunt iudices, quod in ære

* difficultatum